21 ἡμέρα αὕτη. [21]καὶ οὐκ ἠκούσαμεν τῆς φωνῆς κυρίου τοῦ θεοῦ
ἡμῶν κατὰ πάντας τοὺς λόγους τῶν προφητῶν, ὧν ἀπέστειλεν
22 πρὸς ἡμᾶς, [22]καὶ ᾠχόμεθα ἕκαστος ἐν διανοίᾳ καρδίας αὐτοῦ τῆς
πονηρᾶς ἐργάζεσθαι θεοῖς ἑτέροις ποιῆσαι τὰ κακὰ κατ᾽ ὀφθαλμοὺς
2 κυρίου θεοῦ ἡμῶν. [1]καὶ ἔστησεν κύριος τὸν λόγον αὐτοῦ, ὃν ἐλά-
λησεν ἐφ᾽ ἡμᾶς καὶ ἐπὶ τοὺς δικαστὰς ἡμῶν τοὺς δικάσαντας τὸν
Ισραηλ καὶ ἐπὶ τοὺς βασιλεῖς ἡμῶν καὶ ἐπὶ τοὺς ἄρχοντας ἡμῶν
2 καὶ ἐπὶ ἄνθρωπον Ισραηλ καὶ Ιουδα. [2]οὐκ ἐποιήθη ὑποκάτω παν-
τὸς τοῦ οὐρανοῦ καθὰ ἐποίησεν ἐν Ιερουσαλημ κατὰ τὰ γεγραμ-
3 μένα ἐν τῷ νόμῳ Μωυσῆ [3]τοῦ φαγεῖν ἡμᾶς ἄνθρωπον σάρκας
4 υἱοῦ αὐτοῦ καὶ ἄνθρωπον σάρκας θυγατρὸς αὐτοῦ. [4]καὶ ἔδωκεν
αὐτοὺς ὑποχειρίους πάσαις ταῖς βασιλείαις ταῖς κύκλῳ ἡμῶν εἰς
ὀνειδισμὸν καὶ εἰς ἄβατον ἐν πᾶσι τοῖς λαοῖς τοῖς κύκλῳ, οὗ δι-
5 έσπειρεν αὐτοὺς κύριος ἐκεῖ. [5]καὶ ἐγενήθησαν ὑποκάτω καὶ οὐκ
ἐπάνω, ὅτι ἡμάρτομεν κυρίῳ θεῷ ἡμῶν πρὸς τὸ μὴ ἀκούειν τῆς
6 φωνῆς αὐτοῦ. — [6]τῷ κυρίῳ θεῷ ἡμῶν ἡ δικαιοσύνη, ἡμῖν δὲ καὶ
τοῖς πατράσιν ἡμῶν ἡ αἰσχύνη τῶν προσώπων ὡς ἡ ἡμέρα αὕτη.
7 [7]ἃ ἐλάλησεν κύριος ἐφ᾽ ἡμᾶς, πάντα τὰ κακὰ ταῦτα ἦλθεν ἐφ᾽ ἡμᾶς.
8 [8]καὶ οὐκ ἐδεήθημεν τοῦ προσώπου κυρίου τοῦ ἀποστρέψαι ἕκαστον
9 ἀπὸ τῶν νοημάτων τῆς καρδίας αὐτῶν τῆς πονηρᾶς. [9]καὶ ἐγρη-
γόρησεν κύριος ἐπὶ τοῖς κακοῖς, καὶ ἐπήγαγε κύριος ἐφ᾽ ἡμᾶς, ὅτι
10 δίκαιος ὁ κύριος ἐπὶ πάντα τὰ ἔργα αὐτοῦ, ἃ ἐνετείλατο ἡμῖν. [10]καὶ
οὐκ ἠκούσαμεν τῆς φωνῆς αὐτοῦ πορεύεσθαι τοῖς προστάγμασιν
11 κυρίου, οἷς ἔδωκεν κατὰ πρόσωπον ἡμῶν. — [11]καὶ νῦν, κύριε ὁ
θεὸς Ισραηλ, ὃς ἐξήγαγες τὸν λαόν σου ἐκ γῆς Αἰγύπτου ἐν χειρὶ
κραταιᾷ καὶ ἐν σημείοις καὶ ἐν τέρασιν καὶ ἐν δυνάμει μεγάλῃ καὶ
ἐν βραχίονι ὑψηλῷ καὶ ἐποίησας σεαυτῷ ὄνομα ὡς ἡ ἡμέρα αὕτη,
12 [12]ἡμάρτομεν ἠσεβήσαμεν ἠδικήσαμεν, κύριε ὁ θεὸς ἡμῶν, ἐπὶ πᾶ-
13 σιν τοῖς δικαιώμασίν σου. [13]ἀποστραφήτω ὁ θυμός σου ἀφ᾽ ἡμῶν,
ὅτι κατελείφθημεν ὀλίγοι ἐν τοῖς ἔθνεσιν, οὗ διέσπειρας ἡμᾶς ἐκεῖ.
14 [14]εἰσάκουσον, κύριε, τῆς προσευχῆς ἡμῶν καὶ τῆς δεήσεως ἡμῶν
καὶ ἐξελοῦ ἡμᾶς ἕνεκεν σοῦ καὶ δὸς ἡμῖν χάριν κατὰ πρόσωπον
15 τῶν ἀποικισάντων ἡμᾶς, [15]ἵνα γνῷ πᾶσα ἡ γῆ ὅτι σὺ κύριος ὁ
θεὸς ἡμῶν, ὅτι τὸ ὄνομά σου ἐπεκλήθη ἐπὶ Ισραηλ καὶ ἐπὶ τὸ
16 γένος αὐτοῦ. [16]κύριε, κάτιδε ἐκ τοῦ οἴκου τοῦ ἁγίου σου καὶ ἐν-

**21** του > A | ων] ους A† || **22** αυτου] ημων A(†)

**2 2** init. B†] pr. του αγαγειν εφ ημας κακα μεγαλα rel.: his uerbis adpingit Q^mg ※ θ′, unde efficio ea non ad 𝔊 pertinere, sed ex θ′ addita esse, cf. Dan. 9 12 | ουκ B†] pr. α rel.: cf. Dan. 9 12 οια | εποιησεν] -ηθη A || **3** υιων A || **4** εις 2⁰ > B† | κυκλω 2⁰] + ημων A || **5** κυριω] pr. τω A†, + τω mu. || **7** ταυτα Q] + α BA || **8** αυτων] -του A || **9** ο > A || **11** και νυν > A† | και 2⁰ > B || **13** αποστραφ.] + δη A || **14** σου] pr. του ονοματος A || **15** επικεκληται A

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246994X/754 UNIVERSITÄT LEIPZIG